# Κριτήριο 2 - Αρχαία Β΄ Γυμνασίου

## [Οι Σεληνίτες]

Καλὸς δὲ παρὰ Σεληνίταις νομίζεται, ἤν πού τις φαλακρὸς ᾖ. Καὶ μὴν καὶ γένεια φύουσιν μικρὸν ὑπὲρ τὰ γόνατα. Καὶ ὄνυχας ἐν τοῖς ποσὶν οὐκ ἔχουσιν, ἀλλὰ πάντες εἰσὶν μονοδάκτυλοι. Καὶ ἐπειδὰν ἢ πονῶσιν ἢ γυμνάζωνται, γάλακτι πᾶν τὸ σῶμα ἱδροῦσιν, ὥστε καὶ τυροὺς ἀπ' αὐτοῦ πήγνυνται. Τοὺς δὲ ὀφθαλμοὺς περιαιρετοὺς ἔχουσι καὶ πολλοὶ τοὺς σφετέρους ἀπολέσαντες παρ' ἄλλων χρησάμενοι ὁρῶσιν. Τινὲς δὲ καὶ πολλοὺς ἀποθέτους ἔχουσιν, οἱ πλούσιοι. Κάτοπτρον δὲ μέγιστον κεῖται ὑπὲρ φρέατος οὐ πάνυ βαθέος. Ἂν μὲν οὖν εἰς τὸ φρέαρ καταβῇ τις, ἀκούει πάντων τῶν ἐν τῇ γῇ λεγομένων, ἐὰν δὲ εἰς τὸ κάτοπτρον ἀποβλέψῃ, πάσας μὲν πόλεις, πάντα δὲ ἔθνη ὁρᾷ. Τότε καὶ τοὺς οἰκείους ἐγὼ ἐθεασάμην καὶ πᾶσαν τὴν πατρίδα, εἰ δὲ κἀκεῖνοι ἐμὲ ἑώρων, οὐκέτι ἔχω εἰπεῖν. Ὅστις δὲ ταῦτα μὴ πιστεύει οὕτως ἔχειν, ἄν ποτε καὶ αὐτὸς ἐκεῖσε ἀφίκηται, εἴσεται ὡς ἀληθῆ λέγω.

Λουκιανός, Ἀληθὴς Ἱστορία 1.23-26 (διασκευή)

**1ο Θέμα:**

**α.** Ποια είναι τα ιδιαίτερα χαρακτηριστικά των Σεληνιτών, σύμφωνα με τον Λουκιανό;

**β.** Τι ήταν αυτό που εντυπωσίασε περισσότερο τον συγγραφέα στον πλανήτη τους;

**[Μονάδες 8]**

**2ο Θέμα:**

**α.** Βρες από δύο ομόρριζες για τις λέξεις: νομίζεται, φύουσιν, γυμνάζωνται, χρησάμενοι.

**β.** Σχημάτισε τα ρήματα στην οριστική ή στην υποτακτική, διατηρώντας το πρόσωπο και τον αριθμό.

| Οριστική | Υποτακτική |
| --- | --- |
| νομίζεται | .......... |
| .......... | ἔχωσιν |
| εἰσὶν | .......... |
| .......... | γυμνάζωνται |
| ἀκούει | ........... |
| .......... | ἀφίκηται |
| .......... | πιστεύει |

**γ.** Αναγνώρισε συντακτικά τις υπογραμμισμένες λέξεις στις παρακάτω προτάσεις του κειμένου:

- Καλὸς δὲ παρὰ Σεληνίταις νομίζεται…
- … πολλοὶ τοὺς σφετέρους ἀπολέσαντες παρ' ἄλλων χρησάμενοι ὁρῶσιν.
- Κάτοπτρον δὲ μέγιστον κεῖται ὑπὲρ φρέατος οὐ πάνυ βαθέος.
- … ἀκούει πάντων τῶν ἐν τῇ γῇ λεγομένων…

**[Μονάδες 12]**